eul_wid: kza-ab

Λόβων ὁ Ἀργεῖος · Lobon of Argos

# Fragments and Title

Ἀποσπάσματα καὶ Τίτλος

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Κοινή Koine (frg)
**Domain:** Ποίησις Poetry
**Format:** Ἔμμετρος Verse

book 504 [ln_1]Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας Μουσαῖον, φθίμενον σῶμ’, ὑπὸ τῷδε τάφῳ. *
book 505 ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα, Μούσης Οὐρανίης υἱὸν ἐϋστεφάνου. *
book 506 κρύπτω τὸν θεὸν ἄνδρα Λίνον, Μουσῶν θεράποντα 〈〉
book 507.1 τὸν
book 507.2 πολυθρήνητον Λίνον Αἴλινον ἧδε
book 507.3 πατρῴα
book 507.4 Φοιβείοις βέλεσιν γῆ κατέχει
book 507.5 φθίμενον. *
book 508.1 [ln_1]Θρήϊκα
book 508.2 χρυσολύρην τῇδ’ Ὀρφέα Μοῦσαι ἔθαψαν, ὃν κτάνεν ὑψιμέδων Ζεὺς
book 508.3 ψολόεντι βέλει. *
book 509.1 τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψας’ ἀνέδειξεν ἀστρολόγον πάντων
book 509.2 πρεσβύτατον
book 509.3 σοφίῃ. *
book 510.1 ἧ ὀλίγον τόδε σῆμα, τὸ δὲ κλέος οὐρανόμηκες, τοῦ πολυφροντίστου
book 510.2 τοῦτο Θάλητος ὅρη. *
book 511.1 [ln_1]ἡ Μήδων ἄδικον
book 511.2 παύσας’ ὕβριν ἧδε Σόλωνα τόνδε
book 511.3 τεκνοῖ Σαλαμὶς θεσμοθέτην ἱερόν. *
book 512.1 [ln_1]τόνδε δοριστέφανος
book 512.2 Σπάρτα Χίλων’ ἐφύτευσεν, ὃς τῶν ἑπτὰ σοφῶν
book 512.3 πρῶτος ἔφυ
book 512.4 σοφίᾳ. *
book 513.1 [ln_1]οἰκείοις δακρύοις ἁ γειναμένα κατακλαίει

book 513.2 Πιττακὸν ἥδ’ ἱερὰ Λέσβος 〈ἀποφθίμενον〉. *

book 514.1 [ln_1]κλεινοῖς ἐν δαπέδοισι

book 514.2 Πριήνης φύντα καλύπτει ἥδε Βίαντα πέτρη κόσμον Ἴωσι μέγαν. *

book 515.1 [ln_1]ἄνδρα

book 515.2 σοφὸν Κλεόβουλον ἀποφθίμενον καταπενθεῖ ἥδε πάτρα Λίνδος πόντῳ ἀγαλλομένη. *

book 516.1 [ln_1]πλούτου καὶ σοφίας

book 516.2 πρύτανιν

book 516.3 πατρὶς ἥδε Κόρινθος κόλποις ἀγχίαλος γῆ Περίανδρον ἔχει. *

book 517.1 [ln_1]ἀθανάτων

book 517.2 πομπαῖσιν Ἀρίονα Κυκλέος υἱὸν ἐκ

book 517.3 Σικελοῦ πελάγους σῶσεν ὄχημα τόδε. *

book 518.1 [ln_1]πάτρα Μίλητος τίκτει Μούσαισι

book 518.2 ποθεινὸν

book 518.3 Τιμόθεον κιθάρας δεξιὸν ἡνίοχον. *[ln_1]κρύπτω τῷδε τάφῳ Σοφοκλῆ πρωτεῖα λαβόντα τῇ τραγικῇ τέχνῃ, σχῆμα τὸ σεμνότατον. *

book 519.1 [ln_1]ἥδε

book 519.2 χθὼν κόλποισι

book 519.3 Φασηλίτην Θεοδέκτην κρύπτει, ὃν ηὔξησαν Μοῦσαι Ὀλυμπιάδες. *

book 521.1 [ln_1]οὔ τι τὰ πολλὰ ἔπη

book 521.2 φρονίμην ἀπεφήνατο δόξαν. ἕν

book 521.3 τι μάτευε

book 521.4 σοφόν, ἕν

book 521.5 τι κεδνὸν αἱροῦ· λύσεις γὰρ ἀνδρῶν κωτίλων[ln_5]γλώσσας ἀπεραντολόγους.

book 522.1 [ln_1]πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα, μή 〈σε〉 κρυπτὸν ἔγχος ἔχων κραδίῃ φαιδρῷ προσεννέπῃ προσώπῳ, γλῶσσα δέ οἱ διχόμυθος[ln_5]ἐκ μελαίνης

book 522.2 φρενὸς γεγωνῇ.

book 523.1 [ln_1]ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται διδοὺς βάσανον

book 523.2 φανεράν· ἐν δὲ χρυσῷ[ln_5]ἀνδρῶν ἀγαθῶν

book 523.3 τε κακῶν

book 523.4 τε νοῦς ἔδωκ’ ἔλεγχον.

book 524.1 [ln_1]ἔχοντα

book 524.2 χρὴ τόξον 〈τε〉 καὶ ἰοδόκην

book 524.3 στείχειν

book 524.4 ποτὶ φῶτα κακόν· πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος λαλεῖ διχόμυθον ἔχουσα[ln_5]καρδίῃ νόημα.

book 525.1 [ln_1]ἀστοῖσιν ἄρεσκε πᾶσιν ἐν πόλει ᾇ κε μένῃς. πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος βλαβερὰν

book 525.2 πολλάκις ἐξέλαμψεν ἄταν.

book 526.1 [ln_1]ἀμουσία τὸ πλέον ἐν βροτοῖσι λόγων

book 526.2 τε πλῆθος· ἀλλ’ ὁ καιρὸς ἀρκέσει. φρόνει
book 526.3 τι κεδνόν· μὴ μάταιος ἁ χάρις γενέσθω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org